2 – 17 Τοῦ – καθηγεμόσιν] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **3** κατὰ φιλοσόφων] *vide Eustathii ed. cit.*, p. CCCXCIX **9** οἷοί τε] *scrips. Mai*, οἰηταὶ K **10** πρόδηλον ὅτι] *correxi (ed.)*, πρόδηλοι K **13** Εἴτε] *scrips. Mai*, εἶτα K **14** αὐτῶν] *scrips. Mai*, αὐτῶ K εἴσω] *scripsi (ed.)*, ἴσω K, ἔσω *scrips. Mai* **15** ἐξεπτύσατε] *correx. Spanneut*, ἐξεπτύξατε K ταῦτα] ταύτην *scrips. Mai* **16** βαρβαρώδει δεισιδαιμονίᾳ] *scripsi*, βαρβαρώδη δεισιδαιμονία K, βαρβαρώδην δεισιδαιμονίαν *scrips. Mai*, βαρβάρῳ δεισιδαιμονίᾳ *Declerck* ἐσφάλησαν] *scrips. Mai*, ἠσφάλησαν K

[II[1]27 / K cap. A 1, 27]

Ἐκ τοῦ αὐτοῦ λόγου·

Ὅτι μὲν οὐκ εἰσὶν ἀγέννητοι αἱ ψυχαί, τοῦτο δείκνυσιν σαφέστερον ἡ τῶν ἀρτιγόνων ἡλικία βρεφῶν. Εἰ μὲν γὰρ ἅμα τῷ τεχθῆναι τὰ παιδία, τελείας ἐξῆπτο φρονήσεως, ἐξῆν ἴσως ὑποκρίνεσθαι τινὰς ἄγνοιαν· εἰ δὲ λείπεται νοῦ καὶ λόγου καὶ συνέσεως, οὐκ ἄρα καθέστηκαν ἀγέννητοι τὴν φύσιν αἱ ψυχαί. Σύμπαντες οὖν ἴσμεν ὅτι τοῖς τῶν σωμάτων ὄγκοις ἡ ψυχὴ συνεκτέταται διαρκῶς, οὐ μεγέθει μόνον ἢ βραχύτητι μελῶν, ἀλλὰ καὶ ταῖς ἄλλαις τῆς γνώμης ἀ<να>λογίαις. Ἐς ὅσον μὲν νεογνὰ τυγχάνει ταῦτα τὰ βρέφη, πάσης μὲν πανταχῶς ἐννοίας ἀπορεῖ καὶ βουλῆς· ἡρέμα δὲ καὶ κατ᾽ ὀλίγον προϊόντα, νοῦν τε καὶ φρόνησιν προσλαμβάνει καὶ λόγον. Εἰ δὲ ταῦτα ἴδια μέν ἐστιν ψυχῆς, ἐκ περιουσίας δὲ τὰς κρείττους ἐπιδέχονται προσθήκας, ἄρα οὖν <εὔδηλον> ὅτι συναυξάνει μὲν τῷ σώματι· καθάπερ δὲ τοῦτο λελη-θότως ὑπαναλέγεται τὰς δυνάμεις, οὕτω καὶ ἡ ψυχὴ προκόπτουσα τὸν νοῦν. Ὅσοι δὲ μηδέποτε βαίνουσιν ἐπὶ τὸ ἄμεινον, ἀλλὰ μωροὶ διαμένουσιν, δῆλον ὅτι, λελωβημένου τινὸς μορίου, ἀτελεῖς ἔχουσι τὰς ψυχάς, ὥσπερ οἱ τὴν φρενίτιδα ἀρρωστήσαντες νόσον.

[II[1]28 / K cap. A 1, 28]

Καὶ μετ᾽ ὀλίγα·

Ἀμέλει καὶ τὸ τοῦ πρωτοπλάστου σῶμα σχηματισθὲν ἔκειτο νεκρόν, ἄπνουν, ἀκίνητον, μέλεσιν μὲν καὶ ἁρμονίᾳ ῥερυθμισμένον ἄκρως, μορφῇ τε

3 – 17 **[II[1]27]** EUSTATHIUS ANTIOCHENUS, *Contra Ariomanitas et de anima*, locus non repertus, fragm. 60 (ed. Declerck, p. 129) **20 – 61, 6** **[II[1]28]** EUSTATHIUS ANTIOCHENUS, *Contra Ariomanitas et de anima*, locus non repertus, fragm. 61 (ed. Declerck, p. 130)

2 – 17 **[II[1]27]** K cap. A 1, 27 (23v[20]21–24r18); *deest in* V H[I] L[c]; PG 86, 2040, 17–38 **19 – 61, 6** **[II[1]28]** K cap. A 1, 28 (24r[18]19–24v4); *deest in* V H[I] L[c]; PG 86, 2040, 38 – 2041, 6

2 – 17 Ἐκ – νόσον] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **4** τῷ] *scrips. Mai*, τὸ K **5** ἄγνοιαν] *sic* K[ut videtur] **7** τῶν] *s. l.* K **9** ἀναλογίαις] *coniec. Mai*, ἀλογίαις K νεογνὰ] *coniec. Declerck*, νέοπλα K **10** ἡρέμα] *sic spir.* K *et ed.* **13** εὔδηλον] *supplev. Declerck*, δῆλον *scrips. Mai* τοῦτο] *correx. Cavallera*, τούτου K **19 – 61, 6** Καὶ – διοικεῖ] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)*

καὶ κάλλει κεκοσμημένον ἐμπρεπῶς, ἅτε δὴ καὶ παρ᾽ αὐτοῦ πλαστουργηθὲν τοῦ θεοῦ πρωτότυπον ἄγαλμα, καὶ τῆς θεσπεσιωτάτης εἰκόνος ἐκτυπωθὲν ἀφομοίωμα κράτιστον, ἀναίσθητον δὲ καὶ ἄφωνον καὶ ἄπνουν. Ὡς δὲ *εἰς τὸ πρόσωπον αὐτοῦ* δημιουργικῶς *ἐνεφύσησεν ὁ θεός*, αὐτίκα τὴν κίνησιν εἴληφεν· ἐξ ἐκείνου δὲ βαδίζει, καὶ ἀναπνεῖ καὶ φθέγγεται, ἄρχει, λογίζεται, πράττει, διοικεῖ.

[II[1]29 / K cap. A 1, 29]

Τοῦ ἁγίου Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, ἐκ τοῦ περὶ ἀναστάσεως λόγου·

Ἐοίκασιν οὗτοι τὴν ὅλην τοῦ θεοῦ πραγματείαν περὶ τὸν ἄνθρωπον ἀγνοεῖν, καὶ τὴν ἐξ ἀρχῆς γένεσιν αὐτοῦ καὶ πλάσιν καὶ τὰ ἐν κόσμῳ, ὧν ἕνεκα γέγονεν. Ἦ γὰρ οὐ φησὶν ὁ λόγος· *Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν*; Ποῖον; Δῆλον ὅτι σαρκικὸν λέγει ἄνθρωπον. Φησὶν γὰρ ὁ λόγος· *Καὶ ἔλαβεν ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασεν τὸν ἄνθρωπον*. Δῆλον οὖν ὡς *κατ᾽ εἰκόνα* θεοῦ ὁ ἄνθρωπος πλασσόμενος ἦν σαρκικός. Εἶτα πῶς οὐκ ἄτοπον τὴν ὑπὸ θεοῦ σάρκα πλασθεῖσαν *κατ᾽ εἰκόνα* τὴν αὐτοῦ φάσκειν ἄτιμον εἶναι καὶ οὐδενὸς ἀξίαν;

1 πλαστουργηθὲν] cf. Gen. 2, 7 **2** εἰκόνος] cf. ibid. 1, 27 **3 – 4** Ibid. 2, 7 **12 – 13** Ibid. 1, 26 **14 – 15** Ibid. 2, 7 **15** Ibid. 1, 26 **16** Ibid.

10 – 17 [II[1]29] (Ps.-)Iustinus Martyr, *De resurrectione*, locus non repertus, Frgm 7, 2–6 (ed. Heimgartner, p. 118, 4–11); Holl, n° 107, 236–246

8 – 17 [II[1]29] K cap. A 1, 29 (24v[5–6]7–17); *deest in* V H[I] L[c]

1 πλαστουργηθὲν] *scrips. Declerck*, πλαστουργηθέντα K **8 – 17** Τοῦ – ἀξίαν] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **12** Ἦ] *correx. Otto*, εἰ K οὐ] *correxi (ed. in app. crit.)*, οὖ *(sic)* K

II[1]30 / K cap. A 1, 30

Τοῦ ἁγίου Μεθοδίου, ἐκ τῶν περὶ ἁγνείας συμποσίων·

Καὶ τί χρὴ παραδείγμασιν τοσούτοις καταχρώμενον μηκύνειν τὸν λόγον; Οὐ γὰρ ἂν οὕτως ἐν ὀλίγῳ χρόνῳ <τοσοῦτον> ἄνευ θείας κομιδῆς ἔργον ἐξήνυσεν φύσις. Τίς γὰρ ὀστέων ἔπηξεν ἄτηκτον οὐσίαν; Τίς δὲ συνέδησεν ἐπιτείνεσθαι νεύροις καὶ ἀνίεσθαι περὶ τὰς ἁρμογὰς καμπτόμενα τὰ μέλη; Τίς ὃς ἐζύμωσεν χυμὸν δεύσας αἵματι καὶ μαλθακὴν ἡμῖν ἐκ χοὸς σάρκα; Μόνος ὁ ἀριστοτέχνας, τὴν λογικωτάτην εἰκόνα καὶ ἔμψυχον, τὸν ἄνθρωπον, ἡμᾶς, ἑαυτοῦ τεκταινόμενος, καὶ κηροπλαστῶν ἐξ ὑγρῶν καὶ βραχυτάτων σπερμάτων ἐν μήτρᾳ. Τίς γάρ ἐστιν ὁ προμηθούμενος μὴ συμπνίγεσθαι τῷ ὑγρῷ, καὶ τῇ συνοχῇ τῶν ἀγγείων ἐπικλυζόμενον ἔσω τὸ ἔμβρυον; Ἢ τίς ὁ μετὰ τὸ λοχευθῆναι καὶ εἰς φῶς ἀνελθεῖν εἰς μέγεθος καὶ κάλλος καὶ ῥώμην ἐξ ἀσθενοῦς καὶ βραχέος μεταβάλλων, εἰ μὴ αὐτὸς οὗτος ὁ ἀριστοτέχνας, ὡς ἔφην, θεός, τῇ ποιητικῇ δυνάμει τῷ Χριστῷ μετασχηματίζων καὶ μεταζωγραφῶν τὰς ἰδέας;

3 – 17 **[II[1]30]** METHODIUS OLYMPIUS, *Symposia de castimonia (Convivium decem virginum)*, Λόγος β′, VI, 1–16 (ed. Musurillo, p. 82); Holl, n° 443

2 – 17 **II[1]30** K cap. A 1, 30 (24v[18]19–25r12); V[E]V[O] cap. A 8, 17; V[W] cap. A 8, 16; H[I] cap. A 7, 2; L[c] cap. A 40, 17; PG 95, 1101, 14–28

II[1]30 (a) K συμποσίων] *scripsi*, συμποσιῶν *cod.* (b) Τοῦ ἁγίου Μεθοδίου, περὶ ἀναστάσεως V[E]V[O] L[c] (c) Τοῦ ἁγίου Μεθοδίου H[I] (d) *s. a.* V[W]

3 – 5 Καὶ – φύσις] *om.* V H[I] L[c] **4** τοσοῦτον] *supplev. Holl (= ed.)*, *non liquet in* K **5** γὰρ] *om.* V H[I] L[c] ὀστῶν V[W] ἔπηξεν] *correxi (ed.)*, ἐξῆπτεν K V[E]V[O] H[I], ἐξεῖπεν L[c], ἐξήνεγκεν V[W] **6** Τίς – συνέδησεν] *usque ad* -δησεν *non liquent in* K ἀνίεσθαι περὶ] *om.* H[I] **7** ἁρμογὰς] *add.* ἐποίησε H[I] καμπτόμενα] καὶ ἁπτόμενα V[W] Τίς ὃς] *non liquent in* K ὃς] *om.* V[W], θεὸς *ed.* χυμὸν] ἔνχυμον K, ἔνχομον V[W], χειμὼν V[O], ἔχυμον *scrips. Holl* **8** μαλακὴν L[c] ὁ] *om.* V[W] ἀριστοτέχνης V[E]V[O] H[I] L[c] **9** καὶ] τὴν L[c] ἡμᾶς] *s. l.* K **10** καὶ[1]] *om.* L[c] **11** ἐν μήτρᾳ] τὴν μήτραν L[c] γάρ ἐστιν] γὰρ H[I] **12** ἀγγίων V[W], ἁγίων V[O] **13 – 17** Ἢ – ἰδέας] *om.* V[W] **14** βραχέως K V[E]V[O] **15** ἀριστοτέχνης V H[I] L[c] **16** τῷ Χριστῷ] *scripsi (ed.)*, τῶ χρηστῶ K, *om.* V[E]V[O] H[I] L[c] **17** εἰδέας K

II[1]31 / K cap. A 1, 31

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ ἀναστάσεως·

Ὁ τῶν ὅλων δημιουργὸς θεός, ἐπειδὴ εὐτάκτως τὸ πᾶν συνεστήσατο καθάπερ μεγάλην πόλιν καὶ διεκόσμησεν προστάσσων τῷ λόγῳ, ἕκαστον δὲ αὐτῷ συμφώνως ἥρμοστο στοιχεῖον, καὶ πάντα ζώων πεπλήρωτο διαφοραῖς, ἵνα τελείως ὁ κόσμος εἰς κάλλος αὐξηθῇ, παντοίας φύσεως ζωοτοκήσας μορφάς, τελευταῖον τὸν ἄνθρωπον, προετοιμάσας ὡς οἰκίαν αὐτῷ καλλίστην τὸ πᾶν, μίμημα τῆς ἰδίας εἰκόνος ἐμφερές, εἰς τὸν κόσμον εἰσήγαγεν, ἄγαλμα ὡς ἐν ναῷ καλῷ φαιδρὸν ταῖς ἑαυτοῦ χερσὶν κατασκευάσας. Ἠπίστατο γὰρ ὅτι πάντως ὅπερ ἂν τῇ ἑαυτοῦ χειρὶ τεχνήσηται, ἐξ ἀνάγκης ἔσται ἀθάνατον, ἅτε ἀθανασίας ἔργον ὄν. Ἀθανασίᾳ γὰρ ἀθάνατα τὰ ἀθάνατα γίνεται, καθάπερ καὶ τὰ κακὰ κακίᾳ κακά, καὶ τὰ ἄδικα ἀδικίᾳ ἄδικα. Οὐ γὰρ δικαιοσύνης ἔργον τὸ ἀδικεῖν, ἀλλ᾽ ἀδικίας, οὐ δ᾽ αὖ ἀδικίας ἀναστρόφως τὸ δικαιοπραγεῖν ἔργον, ἀλλὰ δικαιοσύνης, ὥσπερ οὐδὲ ἀφθαρσίας τὸ φθείρεσθαι ποιεῖν, ἀλλὰ φθορᾶς, οὐδὲ φθορᾶς τὸ ἀθανατίζειν, ἀλλ᾽ ἀφθαρσίας, καὶ συλλήβδην, οἷον ἂν ᾖ τὸ ποιοῦν, κατὰ τὸν αὐτὸν οὕτως λόγον τοιοῦτο καὶ τὸ ποιούμενον ἐξ ἀνάγκης ἀπεργάζεσθαι συμβαίνει. Ὁ δὲ θεὸς ἀθανασία καὶ ζωὴ καὶ ἀφθαρσία, ἔργον δὲ ἄνθρωπος θεοῦ· πᾶν δὲ τὸ ὑπὸ ἀθανασίας ἐργασθὲν ἀθάνατον· ἀθάνατος ἄρα ὁ ἄνθρωπος.

---

3 – 7 **II[1]31** Ὁ – μορφάς] Methodius Olympius, *De resurrectione*, I, 34, 1 (ed. Bonwetsch, p. 271, 1–5) = Epiphanius Constantiensis, *Panarion*, 64, 26, 1 (ed. Holl/Dummer, p. 441, 21 – 442, 2); Holl, n° 416, 1–6 **7 – 64, 13** τελευταῖον – Ἐξαγαγέτω] Methodius Olympius, *De resurrectione*, I, 34, 1–5 (ed. Bonwetsch, p. 271, 7 – 273, 5) = Epiphanius Constantiensis, *Panarion*, 64, 26, 1–9 (ed. Holl/Dummer, p. 442, 3 – 443, 6); Holl, n° 416, 6–35

2 – 64, 23 **II[1]31** K cap. A 1, 31 (25r[12]13–26r21); $V^{E}V^{O}$ cap. A 8, 18; V^{W} cap. A 8, 17; H^{I} cap. A 7, 3; L^{c} cap. A 40, 18; PG 95, 1101, 28–41

II[1]31 (a) K (b) Τοῦ αὐτοῦ H^{I} (c) *s. a.* V L^{c}

3 – 20 Ὁ – συμβαίνει] *om.* V H^{I} L^{c} **6** ζώων] *scripsi (ed.)*, ζῶον $K^{a.\,c.}$, ζώον $K^{p.\,c.}$ **7** ζωοτοκήσας] *scripsi (ed.)*, ζωοτόκοις K **8** προετοιμάσας] *scripsi*, προήτοιμάσας K οἰκίαν] *scripsi (ed.)*, οἰκεῖαν K καλλίστην – πᾶν] καλλίστην· τὸ πᾶν K **12** Ἀθανασίᾳ] *scripsi (ed.)*, ἀθανασίας K **15** αὖ] ἂν $K^{a.\,c.\,ut\,videtur}$ **20** δὲ[1]] *om.* V H^{I} L^{c} ἀθανασία] *add.* ἐστὶ V H^{I} L^{c} ζωῆ K H^{I} **21 – 22** ἀθάνατος – ἄνθρωπος] *om.* V H^{I} L^{c}

Διὸ δὴ τὸν μὲν ἄνθρωπον αὐτούργησεν αὐτός, τὰ δὲ λοιπὰ γένη τῶν ζώων ἀέρι καὶ γῇ καὶ ὕδατι προσέταξεν φέρειν. Ἄνθρωπος δὲ ἀληθέστατα λέγεται κατὰ φύσιν οὔτε ψυχὴ χωρὶς σώματος, οὔτε αὖ σῶμα ἄνευ ψυχῆς, ἀλλὰ τὸ ἐκ συστάσεως ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορφὴν συντεθέν· ὅθεν ἐντεῦθεν ἀθάνατον δὴ τὸν ἄνθρωπον γεγονέναι φαίνεται, φθορᾶς τε ἁπάσης ἐκτὸς καὶ νόσων. Μάθοι δ' ἄν τις τοῦτο καὶ ἀπὸ τῆς Γραφῆς ἱκανῶς· ἐπὶ μὲν τῶν ἄλλων ὁπόσα χρόνων κατακοσμοῦνται διαστολαῖς ἡβῶντα καὶ γηράσκοντα, *Ἐξαγαγέτω* λέγεται *τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ*, καὶ *Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος*· ἐπὶ δὲ τοῦ ἀνθρώπου ὡσαύτως ἐκείνοις οὐκέτι *Ἐξαγαγέτω*, ἀλλὰ *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν*, καὶ Ἔλαβεν *ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασεν τὸν ἄνθρωπον*. Καὶ ἵνα μᾶλλον δὴ καὶ ὑμεῖς τὴν διαφορὰν αἴσθησθε, ὡς ὅλῳ καὶ παντὶ τῶν ἄλλων διαφέρων, καὶ ἐν δευτέρᾳ τιμῇ τῶν ἀγγέλων ἐγκαταλεχθεὶς ὁ ἄνθρωπος εὑρίσκεται ἀθάνατος ὤν, φέρε κατὰ τὸν ἀληθῆ πάλιν καὶ ὀρθόδοξον καὶ τοῦτο διαλάβωμεν [τὸν] λογισμόν. Τοῖς μὲν γὰρ ἀπὸ τῆς εἰσπνοῆς τοῦ κατὰ τὸν ἀέρα πνεύματος ἐμψυχῶσθαι ἐδόθη καὶ ζῆν, τῷ δὲ ἐξ αὐτῆς τῆς ἀθανάτου καὶ διαφερούσης οὐσίας· *ἐνεφύσησεν* γὰρ *ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν*.

---

9 – 11 Gen. 1, 20 **11 – 12** Ibid. 1, 24 **13 – 14** Ibid. 1, 26 **15** Ibid. 2, 7 **22 – 23** Ibid. 2, 7

---

13 – 14 ἀλλὰ – ἡμετέραν] METHODIUS OLYMPIUS, *De resurrectione*, I, 34, 5 (ed. Bonwetsch, p. 273, 6–7) = EPIPHANIUS CONSTANTIENSIS, *Panarion*, 64, 26, 9 (ed. Holl/Dummer, p. 443, 7–8); Holl, n° 416, 36–37 **14 – 23** καὶ[1] – ζῶσαν] METHODIUS OLYMPIUS, *De resurrectione*, I, 34, 5 – 35, 2 (ed. Bonwetsch, p. 273, 9–18) = EPIPHANIUS CONSTANTIENSIS, *Panarion*, 64, 26, 9 – 27, 2 (ed. Holl/Dummer, p. 443, 9–18); Holl, n° 416, 37–46

---

1 δὴ] *om.* V H^{I} L^{c} ηὐτούργησεν $V^{E\,p.\,c.}$ **2** καὶ γῇ] *om.* L^{c} **2 – 9** Ἄνθρωπος – γηράσκοντα] *om.* V H^{I} L^{c} **4** αὖ] *correxi (ed.)*, ἂν K **6** φθορᾶς τε] *correxi (ed.)*, φθορᾶς δὲ K **7** Μάθοι] *correxi (ed.)*, μάθοιεν K **9** λέγεται] λέγων $V^{E}V^{O}$ H^{I} L^{c}, λέγει V^{W} **10** ζωσῶν ψυχῶν V^{O} **11 – 23** καὶ – ζῶσαν] *om.* V^{W} **13** ὡσαύτως ἐκείνοις] *om.* $V^{E}V^{O}$ H^{I} L^{c} **14** καὶ[1] – ὁμοίωσιν] *post* ἡμετέραν *transpos.* $V^{E}V^{O}$ H^{I} L^{c} ἡμετέρα V^{O} **15** χοῦν – τῆς] γοῦν κατὰ L^{c} τὸν ἄνθρωπον] αὐτόν $V^{E}V^{O}$ H^{I} L^{c} **15 – 23** Καὶ – ζῶσαν] *om.* $V^{E}V^{O}$ H^{I} L^{c} **16** παντὶ] *correxi (ed.)*, πάντι K **17** ἄλλων] *correxi (ed.)*, ὅλων K **17 – 18** ἐγκαταλεχθεὶς] *correxi (ed.)*, ἐγκαταλειφθεὶς K **19** τοῦτο] *correxi (ed.)*, τοῦτον K τὸν] *delevi (ed.)*

II[1]32 / K cap. A 1, 32

Ἐκ τοῦ αὐτοῦ λόγου·

Ἄνθρωπος δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος λέγεται συντεθέν· οὐκ ἔσται ἄρα ἐκτὸς τοῦ σώματος ὁ ἄνθρωπος, ἀλλὰ μετὰ τοῦ σώματος, ἵνα μὴ ἄλλο παρὰ τὸν ἄνθρωπον ὁ ἄνθρωπος γενηθῇ. Δεῖ γὰρ τῷ θεῷ τὰ ἀθάνατα πάντα γένη σώζεσθαι· ἀθάνατον δὲ ὁ ἄνθρωπος· *ἔκτισεν* γάρ φησιν ἡ Σοφία *τὸν ἄνθρωπον ὁ θεὸς ἐπὶ ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν*· οὐκ ἄρα ἀπόλλυται τὸ σῶμα· ὁ γὰρ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος.

II[1]33 / K cap. A 1, 33

*II[2]45 / T cap. A 1, 45

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸ *Πάντοτε χαίρετε*·

Παρήχθημεν εἰς τὸ εἶναι μὴ ὄντες, καὶ *κατ᾽ εἰκόνα* τοῦ κτίσαντος ἐγενήθημεν· νοῦν καὶ λόγον συμπληροῦντα ἡμῶν τὴν φύσιν ἔχομεν, δι᾽ οὗ θεὸν ἐγνωρίσαμεν.

---

7 – 8 Sap. 2, 23[1–2] **12** Gen. 1, 27

---

3 – 9 **II[1]32** Methodius Olympius, *De resurrectione* I, 50, 3–4 (ed. Bonwetsch, p. 304, 10–16) = Epiphanius Constantiensis, *Panarion*, 64, 42, 4–5 (ed. Holl/Dummer, p. 465, 17 – 466, 2); Holl, n° 424, 49–57 **12 – 14** **II[1]33** Basilius Caesariensis, *Homilia de gratiarum actione (In illud:* Semper gaudete *[I Thess. 5, 16])*, 2 (PG 31, 221, 42–45)

---

2 – 9 **II[1]32** K cap. A 1, 32 (26r[21]22–26v6); *deest in* V H[I] L[c] **11 – 14** **II[1]33** K cap. A 1, 33 (26v[7]8–11); V[E]V[O] cap. A 8, 23; V[W] cap. A 8, 22; H[I] cap. A 7, 8; L[c] cap. A 40, 23; PG 95, 1104, 27–29

II[1]33 (a) K βασιλειου *cod.* (b) Τοῦ αὐτοῦ V[E]V[O] H[I] (c) *s. a.* V[W] L[c]

---

2 – 9 Ἐκ – σώματος] *secludenda putat Heimgartner, sed cf. Praef., p.* XXXIV, *n.* 37 **6** γένη πάντα *ed.* **8 – 9** ἄρα K[a. c. ut videtur]

II[1]34 / K cap. A 1, 34

Ἐκ τοῦ εἰς τὸ οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ θεός·

Σῶμα ἔκτισεν ὁ θεός, οὐχὶ νόσον· καὶ ψυχὴν ἐποίησεν ὁ θεός, οὐχὶ δὲ ἁμαρτίαν· ἐκακώθη δὲ ἡ ψυχή, παρατραπεῖσα τοῦ κατὰ φύσιν.

*II[2]46 / T cap. A 1, 46

II[1]35 / K cap. A 1, 35

<***>

Ἦν ποτὲ Ἀδὰμ ἄνω, οὐ τόπῳ, ἀλλὰ τῇ προαιρέσει.

II[1]36 / K cap. A 1, 36

Ἐκ τοῦ αὐτοῦ·

Διατί οὐκ εὐθέως αὐτῷ συγκατεσκευάσθη καὶ τὰ ἐνδύματα; Ὅτι οὔτε φυσικὰ ἔπρεπεν εἶναι ταῦτα, οὔτε ἐκ τέχνης. Τὰ μὲν γὰρ φυσικὰ ἴδια τῶν ἀλόγων ἐστίν, οἷον πτερὰ καὶ τρίχες καὶ δερμά-

7 exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 119v11 (Heimgartner, p. 239.37)

3 – 4 **II[1]34** Basilius Caesariensis, *Quod deus non est auctor malorum*, 6 (PG 31, 344, 15–18) **7** **II[1]35** Basilius Caesariensis, *Quod deus non est auctor malorum*, 7 (PG 31, 344, 35–36) **10 – 67, 1** **II[1]36** Διατί – καύσωνας] Basilius Caesariensis, *Quod deus non est auctor malorum*, 9 (PG 31, 349, 6–11)

2 – 4 **II[1]34** K cap. A 1, 34 (26v[11]12–14); $V^{E}V^{O}$ cap. A 8, 19; V^{W} cap. A 8, 18; H^{I} cap. A 7, 4; L^{c} cap. A 40, 19; PG 95, 1101, 42–44 **6 – 7** **II[1]35** K cap. A 1, 35 (26v[11]14–15); $V^{E}V^{O}$ cap. A 8, 20; V^{W} cap. A 8, 19; H^{I} cap. A 7, 5; L^{c} cap. A 40, 20; PG 95, 1101, 44–45 **9 – 67, 3** **II[1]36** K cap. A 1, 36 (26v[16]17–24); $V^{E}V^{O}$ cap. A 8, 21; V^{W} cap. A 8, 20; H^{I} cap. A 7, 6; L^{c} cap. A 40, 21; PG 95, 1101, 45–53

II[1]34 (a) K (b) Βασιλείου, ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ θεός V H^{I} L^{c} ὅτι – θεός] *om.* V^{W} τῶν] *om.* V^{E} **II[1]35** (a) *s. a.* L^{c} (b) *s. d.* K V H^{I} **II[1]36** (a) K (b) *s. a.* L^{c} (c) *s. d.* V H^{I}

3 – 4 οὐχὶ δὲ] οὐδὲ K **4** ἡ] *om.* V^{W} **7** Ἦν] *rubricatoris vitio deest in* L^{c} **10** συγκατεσκευάσθη] συγκατεσκευάσθην V^{O}, -σκευάσθαι L^{c}

των παχύτης, στέγειν μὲν χειμῶνας, φέρειν δὲ καύσωνας. Ἀνθρώπῳ δὲ ἔπρεπεν, κατὰ τὴν ἀναλογίαν τῆς πρὸς θεὸν ἀγάπης, παρηλλαγμένας τῶν ἀγαθῶν τὰς ἀντιδόσεις ὑπάρχειν.

II[1]37 / K cap. A 1, 37

Τοῦ ἁγίου Γρηγορίου Νύσης, ἐκ τῆς εἰς τὸν ἄνθρωπον θεωρίας·

Διατοῦτο οὖν οὐκ εὐθὺς τὰ ἐνδύματα, ἐπειδὴ ἄθλα ἀρετῆς ἀποκείμενα τῷ ἀνθρώπῳ, εἰς ἃ φθάσαι ἀπὸ τῆς ἐπηρείας τοῦ διαβόλου οὐκ ἐπετράπη.

[II[1]38 / K cap. A 1, 38]

Ἐκ τοῦ αὐτοῦ λόγου·

Ὥσπερ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν οἱ τὰς εἰκόνας τῶν κρατούντων κατασκευάζοντες τόν τε χαρακτῆρα τῆς μορφῆς ἀναμάσσονται, καὶ τῇ περιβολῇ τῆς πορφυρίδος τὴν βασιλικὴν ἀξίαν συμπαραγράφουσι, καὶ λέγεται κατὰ συνήθειαν καὶ ἡ εἰκὼν βασιλεύς, οὕτω καὶ ἡ ἀνθρωπίνη φύσις, ἐπειδὴ πρὸς ἀρχὴν τῶν ἄλλων κατεσκευάζετο διὰ τῆς πρὸς τὸν βασιλέα τοῦ παντὸς ὁμοιότητος, οἷόν τις ἔμψυχος εἰκὼν ἀνεστάθη, κοινωνοῦσα τῷ ἀρχετύπῳ καὶ τῆς ἀξίας καὶ τοῦ ὀνόματος, οὐ πορφυρίδα περικειμένη, οὐδὲ σκήπτρῳ καὶ διαδήματι τὴν βασιλικὴν ἀξίαν ἐπισημαίνουσα – οὐδὲ γὰρ τὸ ἀρχέτυπον ἐν τούτοις ἐστίν –, ἀλλ᾽ ἀντὶ μὲν τῆς ἁλουργίδος τὴν ἀρετὴν ἠμφιεσμένη, ὃ δὴ πάντων βασιλικώτατον ἐσθημάτων ἐστίν, ἀντὶ δὲ τοῦ σκήπτρου τῇ μακαριότητι τῆς ἀθανασίας ἐπερειδομένη, ἀντὶ δὲ τοῦ βασιλι-

1 – 3 Ἀνθρώπῳ – ὑπάρχειν] IBID. (PG 31, 349, 13–16) **6 – 8 II[1]37** GREGORIUS NYSSENUS, *Contemplatio hominis (De opificio hominis)*, locus non repertus, re vera BASILIUS CAESARIENSIS, *Quod deus non est auctor malorum*, 9 (PG 31, 349, 29–32) **11 – 68, 5 [II[1]38]** GREGORIUS NYSSENUS, *Contemplatio hominis (De opificio hominis)*, 4–5 (ed. Forbesius, p. 126, 21 – 128, 12)

5 – 8 II[1]37 K cap. A 1, 37 (27r[1]2–4); *deest in* V H[I] L[c] **10 – 68, 5 [II[1]38]** K cap. A 1, 38 (27r[5]6–27v6); *deest in* V H[I] L[c]

1 – 3 στέγειν – ὑπάρχειν] *om.* V[W] **1** καύσωνος K **2** θεῶν L[c] **2 – 3** παρηλαγμένας V[E]V[O] **6** ἄθλα] *sic acc.* K, *post* ἄθλα *hab.* ἦν *ed.* **7** ἀπὸ] ὑπὸ *ed.* **10 – 68, 5** Ἐκ – θεωρεῖται] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **21** τῇ μακαριότητι] *correxi (ed.)*, τὴν μακαριότητα K

κοῦ διαδήματος τῷ τῆς δικαιοσύνης στεφάνῳ κεκοσμημένη, ὥστε διὰ πάντων ἐν τῷ τῆς βασιλείας ἀξιώματι δείκνυσθαι δι᾽ ἀκριβείας πρὸς τὸ ἀρχέτυπον κάλλος ὁμοιωθεῖσα<ν>. Τὸ δὲ θεῖον κάλλος οὐ σχήματί τινι καὶ μορφῆς εὐμοιρίᾳ διά τινος εὐχροίας ἐναγλαΐζεται, ἀλλ᾽ ἐν ἀφράστῳ μακαριότητι κατ᾽ ἀρετὴν θεωρεῖται.

[II[1]39 / K cap. A 1, 39]

<***>

Τάχα γὰρ οὐκ ἔξω τῆς προκειμένης ἡμῖν πραγματείας ἐστὶν τὸ ἐξετάσαι τὸ διαμφιβαλλόμενον ἐν ταῖς ἐκκλησίαις περὶ ψυχῆς τε καὶ σώματος. Τοῖς μὲν γὰρ δοκεῖ τῶν πρὸ ἡμῶν, οἷς ὁ περὶ ἀρχῶν ἐπραγματεύθη λόγος, καθάπέρ τινα δῆμον, ἐν ἰδιαζούσῃ πολιτείᾳ τὰς ψυχὰς προϋφεστάναι λέγειν, προκεῖσθαι δὲ κἀκεῖ τά τε τῆς κακίας καὶ τὰ τῆς ἀρετῆς ὑποδείγματα, καὶ παραμένουσαν μὲν ἐν τῷ καλῷ τὴν ψυχὴν τῆς πρὸς τὸ σῶμα συμπλοκῆς μένειν ἀπείρατον· εἰ δὲ ἀπορρυῇ τῆς τοῦ ἀγαθοῦ μετουσίας, πρὸς τὸν τῆδε βίον κατολισθαίνειν καὶ οὕτως ἐν σώματι γίνεσθαι. Ἕτεροι δὲ τῇ κατὰ τὸν Μωϋσέα τάξει τῆς κατασκευῆς τοῦ ἀνθρώπου προσέχοντες, δευτέραν εἶναι τὴν ψυχὴν τοῦ σώματος κατὰ τὸν χρόνον φασίν, ἐπειδὴ πρῶτον λαβὼν *ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἔπλασεν*, εἶθ᾽ οὕτως ἐψύχωσεν διὰ τοῦ προσφυσήματος· καὶ τούτῳ τῷ λόγῳ προτιμοτέραν ἀποδεικνύουσιν τῆς ψυχῆς τὴν σάρκα, τῆς ἐπεισκρινομένης τὴν προδιαπεπλασμένην. Λέγουσι γὰρ διὰ τὸ σῶμα τὴν ψυχὴν γενέσθαι, ὡς ἂν μὴ ἄπνουν τε καὶ ἀκίνητον εἴη

8 – 19 Τάχα – προσφυσήματος] exstat etiam ap. Iustinian. Imperat., *Edictum contra Origenem* (ed. Schwartz, p. 199, 22–31) **9 – 15** Τοῖς – γίνεσθαι] ad Origenis doctrinam alludi videtur (cf. etiam Plat., *Phaedr.*, 248c3–e3) **17 – 18** ὁ – ἔπλασεν] Gen. 2, 7 **18 – 19** ἐψύχωσεν – προσφυσήματος] cf. ibid.

8 – 69, 2 **[II[1]39]** Τάχα – γίνεται] GREGORIUS NYSSENUS, *Contemplatio hominis (De opificio hominis)*, 28, 1 (ed. Forbesius, p. 276, 6–24)

7 – 74, 21 **[II[1]39]** K cap. A 1, 39 (27v6–33v22); *deest in* V H[I] L[c]

[II[1]39] *s. a.* K

2 δείκνυσθαι] *scripsi*, δεικνῦσθαι K **3** ὁμοιωθεῖσαν] *correxi (ed.)*, ὁμοιωθεῖσα K **8 – 74, 21** Τάχα – ἐγένετο] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **14** ἀπείρατον] ἀπείραστον K[a. c.] ἀπορρυῇ] *correxi (ed.)*, ἀπορροιὴν K **15** τῇ] *s. l.* K **19** τούτῳ] *correxi (ed.)*, τοῦτο K

τὸ πλάσμα· πᾶν δὲ τὸ διά τι γινόμενον, ἀτιμότερον πάντως ἐστὶν τοῦ δι' ὃ γίνεται.

Ἐπεὶ οὖν ἐν ἀμφοτέραις ταῖς ὑπολήψεσιν ὁ λόγος ὑπαίτιος, τῶν τε προβιοτεύειν τὰς ψυχὰς ἐν ἰδίᾳ τινὶ καταστάσει μυθολογούντων <***>, ἀναγκαῖον ἂν εἴη μηδὲν τῶν ἐν τοῖς δόγμασιν λεγομένων περιϊδεῖν ἀνεξέταστον. Ἀλλὰ τὸ μὲν δι' ἀκριβείας τοὺς ἑκατέρωθεν γυμνάζειν λόγους καὶ πάσας ἐκκαλύπτειν τὰς ἐγκειμένας ἀτοπίας ταῖς ὑπολήψεσιν, μακροῦ ἂν δέοιτο καὶ χρόνου καὶ λόγου· δι' ὀλίγων δέ, καθὼς ἐστὶ δυνατόν, ἑκάτερον τῶν εἰρημένων ἐπισκεψάμενοι, πάλιν τῶν προκειμένων ἀντιληψόμεθα.

Οἱ τῷ προτέρῳ παριστάμενοι λόγῳ καὶ πρεσβυτέραν τῆς ἐν σαρκὶ ζωῆς τὴν πολιτείαν τῶν ψυχῶν δογματίζοντες οὔ μοι δοκοῦσιν τῶν Ἑλληνικῶν καθαρεύειν δογμάτων, τῶν περὶ τῆς μετενσωματώσεως αὐτοῖς <με>μυθολογημένων. Εἰ γάρ τις ἀκριβῶς ἐξετάσειεν, πρὸς τοῦτο κατὰ πᾶσαν ἀνάγκην τὸν λόγον αὐτοῖς εὑρήσει κατασυρόμενον, ὃν φασί τινα τῶν παρ' ἐκείνοις σοφῶν εἰρηκέναι, ὅτι καὶ ἀνὴρ γέγονεν ὁ αὐτὸς καὶ γυναικὸς σῶμα μετημφιάσατο, καὶ μετ' ὀρνέων ἀνέπτη, καὶ θάμνος ἔφυ, καὶ τὸν ἔνυδρον ἔλαχεν βίον. Οὐ πόρρω τῆς ἀληθείας κατά γε τὴν ἐμὴν κρίσιν φερόμενος ὁ περὶ ἑαυτοῦ ταῦτα λέγων· ὄντως γὰρ βατράχων τινῶν ἢ κολοιῶν φλυαρίας ἢ ἀλογίας ἰχθύων ἢ δρυῶν ἀναισθησίας ἄξια τὰ τοιαῦτα ῥήματα, τὸ μίαν ψυχὴν λέγειν διὰ τοσούτων ἐλθεῖν.

Τῆς δὲ τοιαύτης ἀτοπίας αὕτη ἐστὶν ἡ αἰτία, τὸ προϋφεστάναι τὰς ψυχὰς οἴεσθαι. Δι' ἀκολούθου γὰρ ἡ ἀρχὴ τοῦ τοιούτου δόγματος, ἐπὶ τὸ προσεχέ<ς> τε καὶ παρακείμενον <τὸν> λόγον προάγουσα, μέχρι τούτου τερατευομένη διέξεισιν. Εἰ γὰρ διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέρας ἡ ψυχὴ πολιτείας ἄνθρωπος γίνεται, ἐμπαθέστερος δὲ πάντως ὁ ἐν σαρκὶ βίος ὁμολογεῖται παρὰ τὸν ἀΐδιον καὶ ἀσώματον, ἀνάγκη πᾶσα τὴν ἐν τῷ

10 – 71, 1 Οἱ – σώμασιν] exstat etiam ap. Iustinian. Imperat., *Edictum contra Origenem* (ed. Schwartz, p. 199, 32 – 200, 37) **10 – 13** Οἱ – μεμυθολογημένων] exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 119v21–24 (Heimgartner, p. 239.38) **15 – 17** ὅτι – βίον] cf. Emped. Agrigent., frg. 117 (ed. Diels/Kranz, I, p. 359) **24 – 70, 2** Εἰ – διατεθῆναι] exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 119v24–29 (Heimgartner, p. 239.39)

3 – 74, 21 Ἐπεὶ – ἐγένετο] Ibid., 28, 2–11 (p. 278, 1 – 290, 33)

1 ὃ] *correxi (ed.)*, οὗ K **4** *post* μυθολογούντων *quaedam excidisse videntur (*καὶ τῶν ὑστέρας τῶν σωμάτων κατασκευάζεσθαι νομιζόντων *ed.)* **12 – 13** μεμυθολογημένων] *correxi (ed.)*, μυθολογημένων K **13** κατὰ] *correxi (ed.)*, καὶ K **14 – 15** ἐκείνοις] *correxi (ed.)*, ἐκείνων K **16** θάμνος] *scripsi*, θαμνὸς K **22 – 23** προσεχές τε] *correxi (ed.)*, προσέχετε K **23** τὸν] *supplevi (ed.)*, *om.* K

τοιούτῳ γενομένην βίῳ, ἐν ᾧ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαί, ἐν πλείονί τε κακίᾳ γενέσθαι καὶ ἐμπαθέστερον ἢ πρότερον διατεθῆναι. Ἀνθρωπίνης δὲ ψυχῆς πάθος ἡ πρὸς τὸ ἄλογόν ἐστιν ὁμοίωσις, τούτῳ δὲ προσοικειωθεῖσαν αὐτὴν εἰς κτηνώδη φύσιν μεταρρυῆναι, ἅπαξ δὲ διὰ κακίας ὁδεύουσαν, μὴ δὲ ἐν ἀλόγῳ γεγενημένην τῆς ἐπὶ τὸ κακὸν προόδου λῆξαί ποτε. Ἡ γὰρ τοῦ κακοῦ στάσις ἀρχὴ τῆς κατ᾽ ἀρετήν ἐστιν ὁρμῆς, ἀρετὴ δὲ ἐν ἀλόγοις οὐκ ἔστιν. Οὐκοῦν ἀεὶ πρὸς τὸ χεῖρον ἐξ ἀνάγκης ἀλλοιωθήσεται, πάντοτε πρὸς τὸ ἀτιμότερον προϊοῦσα, καὶ ἀεὶ τὸ χεῖρον τῆς ἐν ᾗ ἐστὶν φύσεως ἐξευρίσκουσα. Ὥσπερ δὲ τοῦ λογικοῦ τὸ αἰσθητὸν ὑποβέβηκεν, οὕτως καὶ ἀπὸ τούτου ἐπὶ τὸ ἀναίσθητον ἡ μετάπτωσις γίνεται.

Ἀλλὰ μέχρι τούτου προϊὼν ὁ λόγος αὐτοῖς, εἰ καὶ ἔξω τῆς ἀληθείας φέρεται, ἀλλά γε διά τινος ἀκολουθίας ἄτοπον ἐξ ἀτόπου μεταλαμβάνει. Τὸ δὲ ἐντεῦθεν ἤδη διὰ τῶν ἀσυναρτήτων αὐτοῖς τὸ δόγμα μυθοποιεῖται· ἡ μὲν γὰρ ἀκολουθία παντελῆ διαφ<θ>ορὰν τῆς ψυχῆς ὑποδείκνυσιν. Ἡ γὰρ ἅπαξ τῆς ὑψηλῆς πολιτείας ἀπολισθήσασα, ἐν οὐδενὶ μέτρῳ κακίας στῆναι δυνήσεται, ἀλλὰ διὰ τῆς πρὸς τὰ πάθη σχέσεως ἀπὸ μὲν τοῦ λογικοῦ πρὸς τὸ ἄλογον μεταβήσεται, ἀπ᾽ ἐκείνου δὲ πρὸς τὴν τῶν φυτῶν ἀναισθησίαν μετατεθήσεται· τῷ δὲ ἀναισθήτῳ γειτνιᾷ πως τὸ ἄψυχον, τούτῳ δὲ τὸ ἀνύπαρκτον ἔπεται, ὥστε καθόλου διὰ τῆς ἀκολουθίας πρὸς τὸ μὴ ὂν αὐτοῖς ἡ ψυχὴ μεταχωρήσει. Οὐκοῦν ἀμήχανος αὐτῇ πάλιν ἐξ ἀνάγκης ἔσται ἡ πρὸς τὸ κρεῖττον ἐπάνοδος. Ἀλλὰ μὴν ἐκ θάμνου ἐπὶ τὸν ἄνθρωπον τὴν ψυχὴν ἐπανάγουσιν· οὐκοῦν προτιμοτέραν τὴν ἐν θάμνῳ ζωὴν τῆς ἀσωμάτου διαγωγῆς ἐκ τούτου ἀποδεικνύ<ου>σιν.

Δέδεικται γὰρ ὅτι ἡ πρὸς τὸ χεῖρον γινομένη πρόοδος τῆς ψυχῆς πρὸς τὸ κατώτερον κατὰ τὸ εἰκὸς ὑποβήσεται, ὑποβέβηκεν δὲ τὴν ἀναίσθητον φύσιν τὸ ἄψυχον, εἰς ὃ δι᾽ ἀκολουθίας ἡ ἀρχὴ τοῦ δόγματος αὐτῶν τὴν ψυχὴν ἄγει. Ἀλλ᾽ ἐπειδὴ τοῦτο οὐ βούλονται, ἢ τῷ ἀναισθήτῳ τὴν ψυχὴν ἐγκατακλείουσιν ἤ, εἴπερ ἐντεῦθεν ἐπὶ τὸν ἀνθρώπινον αὐτὴν ἐπανάγοιεν <***> βίον τῆς πρώτης δείξουσιν καταστάσεως, εἴπερ ἐκεῖθεν μὲν ἡ πρὸς κακίαν κατάπτωσις γέγονεν, ἐντεῦθεν δὲ ἡ πρὸς ἀρετὴν ἐπάνοδος γίνεται.

Οὐκοῦν ἀκέφαλός τις καὶ ἀτελὴς ὁ τοιοῦτος διελέγχεται λόγος, ὁ τὰς ψυχὰς ἐφ᾽ ἑαυτῶν πρὸ τῆς ἐν σαρκὶ ζωῆς βιοτεύειν κατασκευάζων, καὶ διὰ

---

1 αἱ πρὸς] *scripsi secund. Vat. gr. 1456* f. 108v, *om.* K τὸ] *in mg.* K **14** ἀκολουθία] *scripsi (ed.)*, ἀκολουθίαν K διαφθορὰν] *correxi (ed.)*, διαφορὰν K **21** θάμνου] *scripsi*, θαμνοῦ K **22** θάμνῳ] *scripsi*, θαμνῶ K **23** ἀποδεικνύουσιν] *scripsi (ed.)*, ἀποδείκνυουσιν K[p. c.], ἀποδείκνυσιν K[a. c.] **27** τοῦτο] *s. l.* K ἀναισθήτῳ τὴν] *correxi (ed.)*, ἀναισθητο τατην *(sic)* K **28** *post* ἐπανάγοιεν *quaedam excidisse videntur (*βίον, προτιμότερον, καθὼς εἴρηται, τὸν ξυλώδη *ed.)* **32** ἀφ᾽ ἑαυτῶν K

κακίας συνδεῖσθαι τοῖς σώμασιν. Τῶν δέ γε νεωτέραν τοῦ σώματος τὴν ψυχὴν λεγόντων εἶναι προκατεσκευάσθη διὰ τῶν κατόπιν ἡ ἀτοπία.

Οὐκοῦν ἀπόβλητος ἐπίσης ὁ παρ᾽ ἀμφοτέρων λόγος, διὰ δὲ τοῦ μέσου τῶν ὑπολήψεων εὐθύνειν οἶμαι δεῖν ἐν ἀληθείᾳ τὸ ἡμέτερον δόγμα· ἔστιν δὲ τοῦτο τὸ μήτε κατὰ τὴν Ἑλληνικὴν ἀπάτην ἐν κακίᾳ τινὶ βαρηθείσας τὰς τῷ παντὶ συμπεριπολούσας ψυχὰς ἀδυναμίᾳ τοῦ συμπαραθέειν τῇ ὀξύτητι τῆς τοῦ πόλου κινήσεως ἐπὶ τὴν γῆν καταπίπτειν οἴεσθαι, μήτ᾽ αὖ πάλιν οἱονεὶ πήλινον ἀνδριάντα προδιαπλάσαντας τῷ λόγῳ τὸν ἄνθρωπον, τούτου ἕνεκεν τὴν ψυχὴν γίνεσθαι λέγειν – ἦ γὰρ ἂν ἀτιμοτέρα τοῦ πηλίνου πλάσματος ἡ νοερὰ φύσις ἀποδειχθείη –, ἀλλ᾽ ἑνὸς ὄντος <τοῦ> ἀνθρώπου τοῦ διὰ ψυχῆς τε καὶ σώματος συνεστῶτος, μίαν αὐτοῦ καὶ κοινὴν τῆς συστάσεως τὴν ἀρχὴν ὑποτίθεσθαι, ὡς ἂν μὴ αὐτὸς ἑαυτοῦ προγενέστερός τε καὶ νεώτερος γένοιτο, τοῦ μὲν σωματικοῦ προτερεύοντος ἐν αὐτῷ, τοῦ δὲ ἑτέρου ἐφυστερίζοντος, ἀλλὰ τῇ μὲν προγνωστικῇ τοῦ θεοῦ δυνάμει προϋφεστάναι τὸ ἀνθρώπινον πλήρωμα λέγειν, συμμαρτυρούσης εἰς τοῦτο τῆς προφητείας τῆς λεγούσης *εἰδέναι πάντα τὸν θεὸν πρὶν γενέσεως αὐτῶν*, ἐν δὲ τῇ καθ᾽ ἕκαστον δημιουργίᾳ μὴ προτιθέναι τοῦ ἑτέρου τὸ ἕτερον, μήτε πρὸ τοῦ σώματος τὴν ψυχήν, μήτε τὸ ἔμπαλιν, ὡς ἂν μὴ στασιάζοι πρὸς ἑαυτὸν ὁ ἄνθρωπος, τῇ κατὰ τὸν χρόνον διαφορᾷ μεριζόμενος.

Διπλῆς γὰρ τῆς φύσεως ἡμῶν νοουμένης κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν, τοῦ τε φαινομένου ἀνθρώπου καὶ τοῦ κεκρυμμένου, εἰ τὸ μὲν προϋπάρχοι, τὸ δὲ ἐπιγένοιτο, ἀτελής τις ἡ τοῦ δημιουργοῦντος ἀπελε<γ>χθήσεται δύναμις, οὐ τῷ παντὶ κατὰ τὸ ἀθρόον ἐξαρκοῦσα, ἀλλὰ διαιρουμένη τὸ ἔργον καὶ ἀνὰ μέρος περὶ ἑκάτερον τῶν ἡμισευμάτων ἀσχολουμένη.

Ἀλλ᾽ ὥσπερ ἐν τῷ σίτῳ φαμὲν ἢ ἐν ἑτέρῳ τινὶ τῶν σπερμάτων ἅπαν ἐμπεριειλῆφθαι τῇ δυνάμει τὸ κατὰ τὸν στάχυν εἶδος, τὸν χόρτον, τὴν καλάμην, τὰς διὰ μέσου ζώνας, τὸν καρπόν, τοὺς ἀ<ν>θέρικας, καὶ οὐδὲν τούτων ἐν τῷ τῆς φύσεως λόγῳ προϋπάρχειν ἢ προγενέσθαι φαμὲν τῇ φύσει τοῦ σπέρματος, ἀλλὰ τάξει μὲν τινὶ φυσικῇ τὴν ἐγκειμένην τῷ σπέρματι δύναμιν φανεροῦσθαι, οὐ μὴν ἑτέραν ἐπεισκρίνεσθαι φύσιν, κατὰ τὸν αὐτὸν λόγον καὶ τὴν ἀνθρωπίνην σπορὰν ἔχειν ὑπειλήφαμεν <ἐν> τῇ πρώτῃ

5 – 7 κατὰ – οἴεσθαι] ad Origenis doctrinam alludi videtur (cf. etiam Plat., *Phaedr.*, 248c3 – e3) **16** cf. Sus. 35a **21** τοῦ[1] – κεκρυμμένου] cf. I Cor. 15, 44 – 49

2 προκατεσκευάσθη] *scripsi*, προκατησκευάσθη K **6** τῷ] *correxi (ed.)*, τῶν K **10** τοῦ] *supplevi (ed.)*, *om.* K **22 – 23** ἀπελεγχθήσεται] *scripsi (ed.)*, ἀπελεχθήσεται K **23** οὐ τῷ] *correxi (ed.)*, οὕτω K **28** ἀνθέρικας] *scripsi (ed.)*, ἀθέρικας K **32** ἐν] *supplevi (ed.)*, *om.* K

τῆς συστάσεως ἀφορμῇ συνεσπαρμένην τὴν τῆς φύσεως δύναμιν, ἐξαπλοῦσθαι δὲ καὶ φανεροῦσθαι διά τινος φυσικῆς ἀκολουθίας πρὸς τὸ τέλειον προϊοῦσα<ν>, οὐ προσλαμβάνουσάν τι τῶν ἔξωθεν εἰς ἀφορμὴν τελειώσεως, ἀλλ᾽ ἑαυτὴν εἰς τὸ τέλειον δι᾽ ἀκολουθίας προάγουσαν, ὡς μήτε ψυχὴν πρὸ τοῦ σώματος, μήτε χωρὶς ψυχῆς τὸ σῶμα ἀληθὲς εἶναι λέγειν, ἀλλὰ μίαν ἀμφοτέρων ἀρχήν, κατὰ μὲν τὸν ὑψηλότερον λόγον ἐν τῷ πρώτῳ τοῦ θεοῦ βουλήματι καταβληθεῖσαν, κατὰ δὲ τὸν ἕτερον ἐν ταῖς τῆς γεννήσεως ἀφορμαῖς συνισταμένην.

Εἰ γὰρ οὐκ ἔστιν τὴν κατὰ τὰ μέλη διά<ρ>θρωσιν ἐνιδεῖν τῷ πρὸς τὴν σύλληψιν τοῦ σώματος ἐντιθεμένῳ πρὸ τῆς διαπλάσεως, οὐδὲ τὰς τῆς ψυχῆς ἰδιότητας ἐν τῷ αὐτῷ δυνατόν ἐστιν κατανοῆσαι, πρὶν προελθεῖν εἰς ἐνέργειαν. Καὶ ὥσπερ οὐκ ἄν τις ἀμφιβάλλοι πρὸς τὰς τῶν ἄρθρων τε καὶ σπλάγχνων διαφορὰς ἐκεῖνο τὸ ἐντεθὲν σχηματίζεσθαι, οὐκ ἄλλης τινὸς δυνάμεως ἐπεισερχομένης, ἀλλὰ τῆς ἐγκειμένης φυσικῶς πρὸς τὴν ἐνέργειαν ταύτην μεθισταμένης, οὕτως καὶ περὶ ψυχῆς ἀναλόγως ἐστὶν τὸ ἴσον ὑπονοῆσαι, ὅτι κἂν μὴ διά τινων ἐνεργειῶν ἐν τῷ φαινομένῳ γνωρίζεται, οὐδὲν ἧττόν ἐστιν ἐν ἐκείνῳ. Καὶ γὰρ καὶ τὸ εἶδος τοῦ μέλλοντος συνίστασθαι ἀνθρώπου ἐν ἐκείνῳ ἐστὶν τῇ δυνάμει, λανθάνει δὲ διὰ τὸ μὴ εἶναι δυνατὸν πρὸ τῆς ἀναγκαίας ἀκολουθίας ἀναφανῆναι. Οὕτω καὶ ψυχὴ ἔστιν μὲν ἐν ἐκείνῳ καὶ μὴ φαινομένη, φανήσεται δὲ διὰ τῆς οἰκείας αὐτῇ κατὰ φύσιν ἐνεργείας, τῇ σωματικῇ αὐξήσει συμπροϊοῦσα.

Ἐπειδὴ γὰρ οὐκ ἀπὸ νεκροῦ σώματος ἡ πρὸς τὴν σύλληψιν δύναμις ἐπεισκρίνεται, ἀλλ᾽ ἐξ ἐμψύχου καὶ ζῶντος, διατοῦτο φαμὲν εὔλογον εἶναι μὴ νεκρὸν καὶ ἄψυχον οἴεσθαι τὸ ἀπὸ ζῶντος εἰς ζωῆς ἀφορμὴν προϊέμενον. Τὸ γὰρ ἐν σαρκὶ ἄψυχον καὶ νεκρόν ἐστιν πάντως, ἡ δὲ νεκρότης κατὰ στέρησιν ψυχῆς γίνεται· οὐκ ἂν δέ τις ἐπὶ τούτου πρεσβυτέραν τῆς ἕξεως εἴποι τὴν στέρησιν, εἴπερ τὸ ἄψυχον, ὅπερ νεκρότης ἐστίν, τῆς ψυχῆς εἶναί τις κατασκευάζοι πρεσβύτερον. Εἰ δέ τις καὶ ἐναργέστερον ζητοίη τεκμήριον τοῦ ζῆν ἐκεῖνο τὸ μέρος ὅπερ ἀρχὴ τοῦ κατασκευαζομένου γίνεται ζώου, δυνατόν ἐστιν καὶ δι᾽ ἄλλων σημείων, δι᾽ ὧν τὸ ἔμψυχον [ὂ] ἐκ τοῦ νεκροῦ διακρίνεται, καὶ περὶ τούτου κατανοῆσαι· τεκμήριον γὰρ τοῦ ζῆν ἐπὶ τῶν ἀνθρώπων ποιούμεθα τὸ θερμὸν εἶναί τινα καὶ ἐνεργὸν καὶ κινούμενον, τὸ

---

3 προϊοῦσαν] *scripsi (ed.)*, προιοῦσα K **9** Εἰ] ὡς *ed.* διάρθρωσιν] *correxi (ed.)*, διάθρωσιν K$^{p.\ c.\ ut\ videtur}$, διάθωσαν K$^{a.\ c.\ ut\ videtur}$ τῷ] *correxi (ed.)*, τὸ K **10** *ante* οὐδὲ *hab.* οὕτως *ed.* **13** ἐντεθὲν] *correxi (ed.)*, ἐντιθὲν K **14** φυσικῶς] *correxi (ed.)*, φυσικῆς K **15** ταύτην] *correxi (ed.)*, ταύτης K **22 – 23** ἐπεισκρίνεται] ἀποκρίνεται *ed.* **24** προϊέμενον] *scripsi (ed.)*, προιήμενον K **26** εἴποι] *correxi (ed.)*, εἴτωι K **28** ἐναργέστερον] *correxi (ed.)*, ἐνεργέστερον K **30** ὃ] *delevi (cf. ed.)*

δὲ κατεψυγμένον τε καὶ ἀκίνητον ἐπὶ τῶν σωμάτων οὐδὲν ἕτερον εἰ μὴ νεκρότης ἐστίν.

Ἐπειδὴ τοίνυν ἔνθερμόν τε καὶ ἐνεργὸν θεωροῦμεν τοῦτο περὶ οὗ τὸν λόγον ποιούμεθα, τὸ μηδὲ ἄψυχον εἶναι διὰ τούτων συντεκμαιρόμεθα. Ἀλλ' ὥσπερ κατὰ τὸ σωματικὸν αὐτοῦ μέρος οὐ σάρκα φαμὲν αὐτὸ καὶ ὀστέα καὶ τρίχας καὶ ὅσα περὶ τὸ ἀνθρώπινον καθορᾶται, ἀλλὰ τῇ δυνάμει μὲν εἶναι τούτων ἕκαστον, οὔπω δὲ κατὰ τὸ ὁρώμενον φαίνεσθαι, οὕτως καὶ ἐπὶ τοῦ ψυχικοῦ μέρους οὔπω μὲν τὸ λογικὸν καὶ ἐπιθυμητικὸν καὶ θυμοειδὲς καὶ ὅσα περὶ ψυχὴν καθορᾶται, καὶ ἐν ἐκείνῳ χώραν ἔχει<ν> φαμέν, ἀναλόγως δὲ τῆς τοῦ σώματος κατασκευῆς τε καὶ τελειώσεως καὶ τὰς τῆς ψυχῆς ἐνεργείας τῷ ὑποκειμένῳ συναύξεσθαι.

Ὥσπερ γὰρ τελειωθεὶς ὁ ἄνθρωπος ἐν τοῖς μείζοσιν ἔχει διαφαινομένην τὴν τῆς ψυχῆς ἐνέργειαν, οὕτως ἐν ἀρχῇ τῆς συστάσεως τὴν κατάλληλόν τε καὶ σύμμετρον τῇ παρούσῃ χρείᾳ συνέργειαν τῆς ψυχῆς ἐφ' ἑαυτοῦ διαδείκνυσιν ἐν τῷ κατασκευάζειν αὐτὴν ἑαυτῇ διὰ τῆς ἐντεθείσης ὕλης τὸ προσφυὲς οἰκητήριον. Οὐδὲ γὰρ εἶναι δυνατὸν λογιζόμεθα ἀλλοτρίαις οἰκοδομαῖς τὴν ψυχὴν ἐναρμόζεσθαι, ὡς οὐκ ἔστιν τὴν ἐν τῷ κηρῷ σφραγίδα πρὸς ἀλλοτρίαν ἁρμοσθῆναι γλυφήν.

Καθάπερ δὲ τὸ σῶμα ἐκ βραχυτάτων πρὸς τὸ τέλειον πρόεισιν, οὕτω καὶ ἡ τῆς ψυχῆς ἐνέργεια, καταλλήλως ἐμφυομένη τῷ ὑποκειμένῳ, συνεπιδίδωσιν καὶ συναύξεται. Προηγεῖται μὲν γὰρ αὐτῆς ἐν τῇ πρώτῃ κατασκευῇ, οἷον ῥίζης τινὸς <ἐν> τῇ γῇ κατακρυφθείσης, ἡ αὐξητική τε καὶ θρεπτικὴ δύναμις μόνη· οὐ γὰρ χωρεῖ τὸ περισσότερον ἡ τοῦ δεχομένου βραχύτης. Εἶτα προελθόντος εἰς φῶς τοῦ φυτοῦ καὶ ἡλίῳ τὴν βλάστην διαδείξαντος, ἡ αἰσθητικὴ χάρις ἐπήνθησεν. Ἀδρυνθέντος δὲ ἤδη καὶ εἰς σύμμετρον μῆκος ἀναδραμόντος, καθάπέρ τις καρπὸς διαλάμπειν ἡ λογικὴ δύναμις ἄρχεται, οὐ πᾶσα ἀθρόως ἐκφαινομένη, ἀλλὰ τῇ τοῦ ὀργάνου τελειώσει δι' ἐπιμελείας συναύξουσα, τοσοῦτον ἀεὶ καρποφοροῦσα, ὅσον χωρεῖ τοῦ ὑποκειμένου ἡ δύναμις.

Εἰ δὲ ζητεῖς ἐν τῇ τοῦ σώματος πλάσει τὰς ψυχικὰς ἐνεργείας, *Πρόσεχε σεαυτῷ* φησὶν Μωϋσῆς, καὶ ἀνάγνωθι καθάπερ ἐν βιβλίῳ τῶν τῆς ψυχῆς ἐνεργειῶν τὴν ἱστορίαν. Αὐτὴ γάρ σοι διηγεῖται ἡ φύσις λόγου παντὸς ἐναργέστερον τὰς ποικίλας ἐν τῷ σώματι τῆς ψυχῆς ἀσχολίας ἔν τε ταῖς καθόλου καὶ ταῖς ἐπὶ μέρους διασκευαῖς.

---

30 – 31 Deut. 15, 9 (et multis aliis locis)

---

9 ἔχειν] *correxi (ed.)*, ἔχει K **19** δὲ] *correxi (cf. ed. in app. crit.)*, δὴ K **22** ἐν] *supplevi (ed.)*, *om.* K **32** Αὐτὴ] *correxi (ed.)*, αὕτη K

Ἀλλὰ περιττὸν οἶμαι λόγῳ τὰ καθ᾽ ἡμᾶς αὐτοὺς διεξιέναι, καθάπέρ τι τῶν ὑπερορίων διηγουμένους θαυμάτων. Τίς γὰρ ἑαυτὸν βλέπων, λόγῳ δεῖται τὴν ἰδίαν φύσιν διδάσκεσθαι; Δυνατὸν γάρ ἐστιν, τὸν τῆς ζωῆς τρόπον κατανοήσαντα καὶ ὡς πρὸς πᾶσαν ζωτικὴν ἐνέργειαν ἐπιτηδείως ἔχει τὸ σῶμα καταμαθόντα, γνῶναι περὶ τί κατησχολήθη τὸ φυσικὸν τῆς ψυχῆς παρὰ τὴν πρώτην τοῦ γινομένου διάπλασιν. Ὥστε καὶ διὰ τούτου φανερὸν εἶναι τοῖς οὐκ ἀνεπισκέπτοις τὸ μὴ νεκρόν τε καὶ ἄψυχον ἐν τῷ ἐργαστηρίῳ γενέσθαι τῆς φύσεως, ὃ πρὸς τὴν τοῦ ζώου φυτείαν ἐκ τοῦ ζῶντος σώματος ἀποσπασθὲν ἐνετέθη.

Καὶ γὰρ καὶ τῶν καρπῶν τὰς ἐντερ<ι>ώνας καὶ τὰς τῶν ῥιζῶν ἀποσπάδας οὐ νεκρωθείσας τῆς ἐγκειμένης τῇ φύσει ζωτικῆς δυνάμεως τῇ γῇ καταβάλλομεν, ἀλλὰ συντηρούσας ἐν ἑαυταῖς κεκρυμμένην μέν, ζῶσαν δὲ πάντως τοῦ πρωτοτύπου τὴν ἰδιότητα. Τὴν δὲ τοιαύτην δύναμιν οὐκ ἐντίθησιν ἡ περιέχουσα γῆ ἔξωθεν παρ᾽ ἑαυτῆς ἐπεισκρίνουσα – ἦ γὰρ ἂν καὶ τὰ νεκρὰ τῶν ξύλων εἰς βλάστην παρήγετο –, ἀλλὰ τὴν ἐγκειμένην ἔκδηλον ἀπεργάζεται διὰ τῆς ἰδίας ἰκμάδος τιθηνουμένη, εἰς ῥίζαν καὶ φλοιὸν καὶ ἐντεριώνην καὶ τὰς τῶν κλάδων ἐκφύσεις τὸ φυτὸν τελειοῦσα· ὅπερ οὐχ᾽ οἷόν τε ἦν γενέσθαι, μή τινος φυσικῆς δυνάμεως συνεντεθείσης, ἥτις τὴν συγγενικὴν καὶ κατάλληλον ἐκ τῶν παρακειμένων τροφὴν εἰς ἑαυτὴν ἕλκουσα, θάμνος ἢ δένδρον ἢ στάχυς ἢ τί τῶν φρυγανικῶν βλαστημάτων ἐγένετο.

[II[1]40 / K cap. A 1, 40]

Καὶ μετ᾽ ὀλίγα·

Ἀλλὰ πολὺ τῶν προκειμένων ὁ λόγος ἡμῖν ἀποπεπλάνηται, τοῖς ἔργοις ἐμβαθύνων τῆς φύσεως. Τὸ γὰρ προκείμενον ἦν δεῖξαι τὴν σπερματικὴν τῆς συστάσεως ἡμῶν αἰτίαν μήτε ἀσώματον εἶναι ψυχήν, μήτε ἄψυχον σῶμα,

24 – 25 **[II[1]40]** Ἀλλὰ – φύσεως] GREGORIUS NYSSENUS, *Contemplatio hominis (De opificio hominis)*, 31, 28 (ed. Forbesius, p. 314, 8–9) **25 – 75, 27** Τὸ – τέλειον] IBID., 31, 29 (p. 314, 13 – 316, 15)

23 – 75, 27 **[II[1]40]** K cap. A 1, 40 (33v[22]23–34v19); *deest in* V H[I] L[c]

5 καταμαθόντα] *scripsi*, κατὰ μαθόντα K **6** τούτου] *correxi (ed.)*, τοῦτο K **10** ἐντεριώνας] *scripsi (ed.)*, ἐντερώνας K **14** ἦ] *correxi (ed.)*, εἰ K **15** παρήγετο] προήγετο *ed.* **16** ἀπεργάζεται] *correxi (ed.)*, ὑπεργάζεται K **19** συγγενικὴν] συγγενῆ *ed.* **23 – 75, 27** Καὶ – τέλειον] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)*

ἀλλ᾽ ἐξ ἐμψύχων καὶ ζώντων σωμάτων ζῶν καὶ ἔμψυχον παρὰ τὴν πρώτην ἀπογεννᾶσθαι, ἐκδεξαμένην δὲ τὴν ἀνθρωπίνην φύσιν, καθάπέρ τινα τροφὸν ταῖς οἰκείαις δυνάμεσιν αὐτὴν τιθηνήσασθαι, τὴν δὲ τρέφεσθαι κατ᾽ ἀμφότερα <καὶ> καταλλήλως ἐν ἑκατέρῳ μέρει τὴν αὔξησιν ἐπίδηλον ἔχειν.

Εὐθὺς μὲν γὰρ διὰ τῆς τεχνικῆς ταύτης καὶ ἐπιστημονικῆς διαπλάσεως τὴν συμπεπλεγμένην αὐτῇ τῆς ψυχῆς ἐνδείκνυται δύναμιν, ἀμυδρότερον μὲν παρὰ τὴν πρώτην ἐκφαινομένην, [καὶ] καθεξῆς δὲ τῇ τοῦ ὀργάνου τελειώσει συναναλάμπουσαν, οἷον δὲ ἐπὶ τῶν λιθογλύφων ἐστὶν ἰδεῖν. Πρόκειται μὲν γὰρ τῷ τεχνίτῃ ζώου τινὸς εἶδος ἐν λίθῳ δεῖξαι· τοῦτο δὲ προθέμενος, πρῶτον μὲν τὸν λίθον τῆς συμφυοῦς ὕλης ἀπέρρηξεν, εἶτα περικόψας αὐτοῦ τὰ περιττά, προσήγαγέν πως διὰ τοῦ πρώτου σχήματος τῇ μιμήσει τοῦ κατὰ πρόθεσιν, ὥστε καὶ τὸν ἄπειρον διὰ τῶν φαινομένων τοῦ σκοποῦ τῆς τέχνης καταστοχάσασθαι· πάλιν ἐπεργασάμενος προσήγγισεν πλέον τῇ ὁμοιότητι τοῦ σπουδαζομένου· εἶτα τὸ τέλειον καὶ ἀκριβὲς εἶδος ἐγχειρουργήσας τῇ ὕλῃ, εἰς πέρας τὴν τέχνην προήγαγεν, καὶ ἔστι λέων ἢ ἄνθρωπος ἢ ὅτι ἂν τύχῃ παρὰ τοῦ τεχνίτου γενόμενον ὁ πρὸ βραχέος ἄσημος λίθος, οὐ τῆς ὕλης πρὸς τὸ εἶδος ὑπαμειφθείσης, ἀλλὰ τοῦ εἴδους ἐπιτεχνηθέντος τῇ ὕλῃ.

Τοιοῦτό τις καὶ ἐπὶ τῆς ψυχῆς λογισάμενος, τοῦ εἰκότος οὐχ᾽ ἁμαρτήσεται· τὴν γὰρ πάντα τεχνιτεύουσαν φύσιν ἐκ τῆς ὁμογενοῦς ὕλης λαβοῦσαν, ἐν ἑαυτῇ τὸ ἐκ τοῦ ἀνθρώπου μέρος δημιουργεῖ<ν> ἀνδριάντα φαμέν. Ὥσπερ δὲ τῇ κατ᾽ ὀλίγον ἐργασίᾳ τοῦ λίθου τὸ εἶδος ἐπηκολούθησεν, ἀμυδρότερον μὲν παρὰ τὴν πρώτην, τελειότερον δὲ μετὰ τὴν τοῦ ἔργου συμπλήρωσιν, οὕτω καὶ ἐν τῇ τοῦ ὀργάνου γλυφῇ τὸ τῆς ψυχῆς εἶδος κατὰ τὴν ἀναλογίαν τοῦ ὑποκειμένου προφαίνεται, ἀτελὲς ἐν τῷ ἀτελεῖ καὶ ἐν τῷ τελείῳ τέλειον.

---

4 καὶ] *supplevi (ed.)*, *om.* K *(et Vat. gr. 1456* f. 109v*)* **7** συμπεπλεγμένην] *scripsi (ed.)*, συμπεπληγμένην K **8** μὲν] *correxi (ed.)*, δὲ K καὶ] *delevi (cf. ed.)* **18** ὑπαμειφθείσης] *correxi (ed.)*, ὑπανηφθείσης K **21** πάντα τεχνιτεύουσαν] *scripsi secund. ed.*, παντα τεχνητευουσαν *Vat. gr. 1456* f. 109r, παντεχνιτεύουσαν K$^{a.\,c.}$, παντεχνητεύουσαν K$^{p.\,c.}$ ἐκ] *scripsi secund. Vat. gr. 1456* f. 109r, *om.* K **22** δημιουργεῖν] *correxi (ed.)*, δημιουργεῖ K

[II[1]41 / K cap. A 1, 41]

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς Μακρίναν, τὴν ἰδίαν ἀδελφήν·

Τὸ *κατ' εἰκόνα* γενόμενον διὰ πάντων ἔχει πάντως τὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα, νοερὰν τοῦ νοεροῦ, καὶ τοῦ ἀσωμάτου ἀσώματον, ὄγκου τε παντὸς ἀπηλλαγμένον ὥσπερ ἐκεῖνο, καὶ πᾶσαν ἐκφυγὸν διαστηματικὴν καταμέτρησιν ὁμοίως ἐκείνῳ, ἄλλο δέ τι παρ' ἐκεῖνο κατὰ τὴν τῆς φύσεως ἰδιότητα. Οὐκέτι γὰρ ἂν εἶη εἰκών, εἰ διὰ πάντων εἴη ταὐτὸν ἐκείνῳ, ἀλλ' ἐν οἷς ἐν τῇ ἀκτίστῳ φύσει καθορᾶται ἐκεῖνο, ἐν τοῖς αὐτοῖς ἡ κτιστὴ φύσις δείκνυσι τοῦτο. Καὶ ὥσπερ πολλάκις ἐν μικρῷ ψήγματι ὑελίνῳ, ὅταν τύχῃ πρὸς ἀκτῖνα κείμενον, ὅλος ἐνορᾶται τοῦ ἡλίου ὁ κύκλος, οὐ κατὰ τὸ ἴδιον μέγεθος αὐτῷ ἐμφαινόμενος, ἀλλ' ὡς χωρεῖ ἡ βραχύτης τοῦ ψήγματος τοῦ κύκλου τὴν ἔμφασιν, οὕτως καὶ ἐν τῇ βραχύτητι τῆς φύσεως τῶν ἀφράστων ἐκείνων τῆς θεότητος ἰδιωμάτων εἰκόνες ἐκλάμπουσιν, ὥστε διὰ τούτων <τὸν λόγον> χειραγωγούμενον μήτε ἀποπίπτειν τῆς κατ' οὐσίαν τοῦ νοῦ καταλήψεως, ἀποκαθαιρομένης ἐν τῇ ἐξετάσει τοῦ σκέμματος τῆς σωματικῆς ἰδιότητος, μὴ δ' αὖ πάλιν εἰς ἴσον ἄγειν τῇ ἀορίστῳ τε καὶ ἀκηράτῳ φύσει τὴν μικρὰν καὶ ἐπίκηρον, ἀλλὰ νοητὴν μὲν οἴεσθαι τὴν οὐσίαν, ἐπειδὴ καὶ νοητῆς ἐστιν οὐσίας εἰκών, μὴ μέντοι τὴν αὐτὴν τῷ ἀρχετύπῳ τὴν εἰκόνα λέγειν.

Ὥσπερ οὖν διὰ τῆς ἀπορρήτου σοφίας τοῦ θεοῦ τῆς τῷ παντὶ ἐμφαινομένης τὴν θείαν φύσιν τε καὶ δύναμιν ἐν πᾶσιν τοῖς οὖσιν <εἶναι> οὐκ ἀμφιβάλλομεν, ὡς ἂν ἐν τῷ εἶναι τὰ πάντα μένοι, καίτοι γε ἐπὰν <τὸν> τῆς φύσεως ἀπαιτοίη<ς> λόγον, παμπληθὲς ἀπέχει οὐσία θεοῦ πρὸς τὰ καθ' ἕκαστον ἐν τῇ κτίσει δεικνύμενά τε καὶ νοούμενα, ἀλλ' ὅμως ἐν τούτοις εἶναι τὸ διεστὸς κατὰ τὴν φύσιν ὁμολογεῖται, οὕτως οὐδὲν ἄπιστον καὶ τὴν τῆς ψυχῆς οὐσίαν, ἄλλό τι καθ' ἑαυτὴν οὖσαν, ὅτί ποτε καὶ εἶναι εἰκάζεται, μὴ

3 Gen. 1, 27

3 – 77, 21 **[II[1]41]** GREGORIUS NYSSENUS, *Ad Macrinam (Dialogus de anima et resurrectione)* (ed. Spira/Mühlenberg, p. 26, 12 – 28, 21)

2 – 77, 21 **[II[1]41]** K cap. A 1, 41 (34v[20]21–36r18); *deest in* V H[I] L[c]

2 – 77, 21 Τοῦ – συγκείμενον] *seclusi cum Heimgartner (cf. Praef., p.* XXXIV*)* **6** παρ' ἐκεῖνο] *correxi (ed.)*, παρ' ἐκείνω K **9** τοῦτο] *correxi (ed.)*, τοῦτον K **10** ὅλος] *correxi (ed.)*, ὅλως K **12** *ante* φύσεως *hab.* ἡμετέρας *ed.* **14** τὸν λόγον] *supplevi (ed.)*, *om.* K **21** εἶναι] *supplevi (ed.)*, *om.* K **22** ἐπὰν] *scripsi*, ἐπ' ἂν K, εἰ *ed.* τὸν] *supplevi (ed.)*, *om.* K **23** ἀπαιτοίης] *correxi (ed.)*, ἀπαιτοίη K οὐσία] *s. l.* K

ἐμποδίζεσθαι πρὸς τὸ εἶναι, τῶν στοιχειωδῶς ἐν τῷ κόσμῳ θεωρουμένων οὐ συμβαινόντων αὐτῇ κατὰ τὸν τῆς φύσεως λόγον. Οὐδὲ γὰρ ἐπὶ τῶν ζώντων σωμάτων, καθὼς ἤδη προείρηται, οἷς ἡ ὑπόστασις ἐκ τῆς τῶν στοιχείων ἐστὶν συγκράσεως, κοινωνία τις κατὰ τὸν τῆς οὐσίας λόγον ἐστὶν τῷ ἁπλῷ τε καὶ ἀειδεῖ τῆς ψυχῆς πρὸς τὴν σωματικὴν παχυμερίαν, ἀλλ᾽ ὅμως τὸ ἐν τούτοις εἶναι τὴν ζωτικὴν τῆς ψυχῆς ἐνέργειαν οὐκ ἀμφιβάλλεται, λόγῳ τινὶ κρείττονι τῆς ἀνθρωπίνης κατανοήσεως ἀνακραθεῖσαν. Οὐκοῦν οὐδὲ ἀναλυσάντων πρὸς ἑαυτὰ τῶν ἐν τῷ σώματι στοιχείων, τὸ συνδέον αὐτὰ διὰ <τῆς> ζωτικῆς [ἐν ἄλλῳ διὰ τῆς σωματικῆς] ἐνεργείας ἀπόλωλεν. Ἀλλ᾽ ὥσπερ συνεστῶτος ἔτι τοῦ τῶν στοιχείων συγκρίματος, ψυχοῦται τὰ καθ᾽ ἕκαστον, ἴσως τε καὶ ὁμοίως πᾶσιν τοῖς μέρεσιν τοῖς συμπληροῦσι τὸ σῶμα τῆς ψυχῆς ἐνδυομένης, καὶ οὐκ ἄν τις εἴποι οὔτε στερρὰν αὐτὴν καὶ ἀντίτυπον, τῷ γεώδει συγκεκραμένην, οὔτε ὑγρὰν ἢ ψυχρὰν ἢ τὴν τῷ ψυχρῷ ἀντικειμένην ποιότητα, τὴν ἐν πᾶσιν οὖσαν τούτοις καὶ ἑκάστῳ τὴν ζωτικὴν δύναμιν ἐνιεῖσαν, οὕτω καὶ λυθέντος τοῦ συγκρίματος καὶ εἰς τὰ οἰκεῖα πάλιν ἀναδραμόντος, τὴν ἁπλῆν ἐκείνην καὶ ἀσύνθετον φύσιν ἑκάστῳ παρεῖναι τῶν μερῶν, καὶ μετὰ τὴν διάλυσιν οἴεσθαι, οὐδὲν ἔξωθεν τοῦ εἰκότος ἐστίν, ἀλλὰ τὴν ἅπαξ ἀρρήτῳ τινὶ συμφυεῖσαν λόγῳ <τῷ> τῶν στοιχείων συγκρίματι, καὶ εἰς ἀεὶ παραμένειν οἷς κατεμίχθη, μηδενὶ τρόπῳ τῆς γενομένης ἅπαξ αὐτῇ συμφυΐας ἀποσπωμένην. Οὐ γὰρ ἐπειδὴ λύεται τὸ σύγκριμα, κινδυνεύει συνδιαλυθῆναι τῷ συνθέτῳ τὸ μὴ συγκείμενον.

II[1]42 / K cap. A 1, 42

*II[2]39 / T cap. A 1, 39

Τοῦ ἁγίου Ἐπιφανίου, ἐκ τῆς πρὸς τοὺς ἐν Σουέδροις ἐπιστολῆς·

Ἔθηκεν τοίνυν *ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασεν ἐν παραδείσῳ, κατ᾽ εἰκόνα ποιήσας* τὸν αὐτὸν ἄνθρωπον *θεοῦ*. Μὴ περιεργάζου

24 cf. Gen. 2, 15 **25** Ibid. 1, 27

24 – 78, 3 II[1]42 Ἔθηκεν – περιεργαζόμεθα] EPIPHANIUS CONSTANTIENSIS, *Ancoratus*, 55, 3–5 (ed. Holl/Bergermann/Collatz, p. 64, 15–20)

23 – 78, 18 II[1]42 K cap. A 1, 42 (36r[19]20–36v19); *deest in* V H[1] L[c]

5 παχυμερίαν] *correxi (ed. in app. crit.)*, παχυτερίαν K **9** τῆς[1]] *supplevi (ed.)*, *om.* K ἐν – σωματικῆς] *delevi* **12** ἐνδυομένης] *correxi (ed.)*, ἐνδουμένης K οὔτε στερρὰν] *correxi (ed.)*, οὐτ᾽ ἐτέραν *(sic)* K **13** γεώδει] *correxi (ed.)*, γνώδει K **18** τῷ] *supplevi (ed.)*, *om.* K **23 – 78, 18** Τοῦ – πᾶσιν] *secludenda putat Heimgartner, sed cf. Praef., p.* XXXIV, *n.* 38

δὲ τὰ τοῦ θεοῦ δωρήματα, τὰ κατὰ χάριν τῷ ἀνθρώπῳ δεδομένα. Οὐκ ἀρνούμεθα γὰρ πάντας ἀνθρώπους εἶναι *κατ᾽ εἰκόνα*, τὸ δὲ πῶς οὐ περιεργαζόμεθα. Πιστῶν γὰρ τὸ ὁμολογεῖν τὴν Γραφὴν καὶ μὴ ἀρνεῖσθαι, ἀπίστων δὲ τὸ *ἀθετεῖν τὴν χάριν*.῎Εστιν οὖν ἐν τῷ ἀνθρώπῳ τὸ *κατ᾽ εἰκόνα*, αὐτὸς δὲ ὁ θεὸς οἶδεν πῶς ἐστίν. Ἐὰν γὰρ εἴπῃς· Τὸν ἄνθρωπον *ἐποίησεν κατ᾽ εἰκόνα*, καὶ νομίσῃς εἶναι τὸ σῶμα, ὁ δὲ θεὸς ἀόρατος καὶ ἀκατάληπτος καὶ ἀπερινόητος, πῶς οὖν τὸ ὁρατὸν καὶ καταληπτὸν καὶ ὑπὸ ἁφὴν ἐμπῖπτον ἔσται εἰκὼν τοῦ <ἀοράτου καὶ> ἀκαταλήπτου; Καὶ ἐὰν εἴπῃς· Τὸ σῶμα οὐκ ἔστιν *κατ᾽ εἰκόνα*,῎Ελαβεν, φησίν, *χοῦν ἀπὸ τῆς γῆς*, καὶ *ἔπλασεν τὸν ἄνθρωπον*. <Καὶ ἄνθρωπον καλεῖ τὸ χοϊκόν, καὶ> ἄνθρωπον [δὲ] καλεῖ τὸ ψυχικόν· *Ἐνεφύσησεν* γάρ φησιν *εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν*. <Κτιστὴν δὲ εἶναι τὴν ψυχὴν> καὶ τὸ σῶμα νοοῦμεν, καὶ οὔτε μέρος θεοῦ λέγομεν εἶναι τὴν ψυχὴν οὔτε ἀλλότριον τοῦ ἐμφυσήματος· πῶς δὲ τὸ ἄληπτον τοῦτο νοεῖται, θεῷ μόνῳ ἔγνωσται. Ἡμεῖς δὲ ἀπεριέργως καὶ ἀκακουργήτως πιστεύομεν τῷ θεῷ, τῷ ἀληθεύοντι ἐν πᾶσιν.

*II[2]40 / T cap. A 1, 40

II[1]43 / K cap. A 1, 43

Τοῦ ἁγίου Ἐπιφανίου, κατὰ Ὠριγένους περὶ τῶν χιτώνων·

Ἄλλην δὲ πάλιν μυθώδη θεωρίαν αὐτὸς <ὁ> Ὠριγένης, ᾧ ὁ θεὸς συγχωρήσει<ε> φαντασίας τοῖς ἀνθρώποις ἀλληγοροῦντι, παρει-

2 Gen. 1, 27 **4** cf. Gal. 2, 21 **5** Gen. 1, 27 **6** Ibid. **10** Ibid. **10 – 11** Ibid. 2, 7 **11 – 12** Καὶ – ψυχικόν] cf. I Cor. 15, 46 – 47 **12 – 13** Gen. 2, 7

3 – 18 Πιστῶν – πᾶσιν] EPIPHANIUS CONSTANTIENSIS, *Ancoratus*, 55, 6 – 56, 1 (ed. Holl/Bergermann/Collatz, p. 65, 2–17) **21 – 80, 9 II[1]43** EPIPHANIUS CONSTANTIENSIS, *Ancoratus*, 62, 1 – 63, 2 (ed. Holl/Bergermann/Collatz, p. 74, 5 – 75, 23)

20 – 80, 9 II[1]43 K cap. A 1, 43 (36v[20]21–37v24); *deest in* V H[I] L[c]

7 δὲ] *correxi (ed.)*, μὲν K **9** ἀοράτου καὶ] *supplevi (*II[2]*)*, *om.* K **11** Καὶ – καὶ] *supplevi (*II[2]*) (*τὸ *secund. ed.*, τὸν *II[2]39*)* **12** δὲ] *delevi (*II[2]*)* **14** Κτιστὴν – ψυχὴν] *supplevi (*II[2]39) **16** τὸ ἄληπτον] τὸ λεπτὸν *II[2], κατὰ λεπτὸν *ed.* **20 – 80, 9** Τοῦ – δεσπότην] *secludenda putat Heimgartner, sed cf. Praef., p.* XXXIV, *n.* 38 **21** ὁ[1]] *supplevi (ed.)*, *om.* K **22** συγχωρήσειε] *correxi (ed.)*, συγχωρήσει K φαντασίας] *correxi (ed.)*, φαντασιάσας K τοῖς – ἀλληγοροῦντι] *correxi (ed.)*, τοὺς ἀνθρώπους ἀλληγορῶν K

σήγαγε, φάσκων, οὓς εἶπεν ἡ θεία Γραφὴ *χιτῶνας δερματίνους* πεποιηκέναι τὸν θεὸν τοῖς περὶ τὸν Ἀδάμ, μὴ εἶναι *χιτῶνας δερματίνους*, ἀλλὰ τοῦτο τὸ σῶμα, φησίν, τὸ σαρκῶδες εἶναι τοὺς *χιτῶνας* τοὺς *δερματίνους*· μετὰ γὰρ τὴν παρακοήν, φησίν, καὶ μετὰ τὸ βεβρωκέναι τοῦ ξύλου ἐνέδυσεν τὰς ψυχὰς ταῦτα τὰ σώματα, τουτέστιν ταύτην τὴν σάρκα.

Καὶ ἔστιν εὔηθες τὸ ὅλον εἰπεῖν. Σοφίζεται γὰρ ὁ αὐτὸς Ὠριγένης δῆθεν καὶ φησίν· Μὴ γὰρ ὁ θεὸς ἦν βυρσοδέψης, ἵνα βυρσεύσας δέρματα, χιτῶνας ἐργάσηται τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ; Πολὺ δὲ κτηνωδέστερον τὸ τοιοῦτο. Τί εὐχερέστερον ἦν, οὐρανὸν καὶ γῆν ἐξ οὐκ ὄντων ποιῆσαι τὸν θεὸν ἢ *χιτῶνας δερματίνους* ποιῆσαι; Πότε γὰρ τὰ θαυμάσια αὐτοῦ θέλων οὐκ εἰργάσατο, καὶ ἄψυχα εἰς ἔμψυχα μεταβαλεῖν πότε οὐ δεδύνηται; Τὴν μὲν γὰρ ῥάβδον Μωϋσέως, ξηρὰν οὖσαν καὶ ξυλίνην, ῥιφεῖσαν ἕρπειν ὄφιν ἔμψυχον ἐποίησεν καὶ Μωϋσέα καταδιώκειν, ἀφ᾽ οὗ προσώπου Μωϋσῆς εἰς φυγὴν ἐτρέπετο, ἵνα δείξῃ ὅτι οὐκ ἦν φάντασμα, ἀλλ᾽ ἀληθὲς τὸ γενόμενον. Πῶς δὲ τεσσαράκοντα ἔτη τοῦ λαοῦ τὰ ἱμάτια οὐκ ἐρρυπάνθη, καὶ τρίχες οὐκ ἐκόμων, καὶ τὰ ὑποδήματα οὐκ ἐπαλαιοῦντο; Εἰπάτωσαν δέ μοι οἱ ἠλίθιοι, οἱ τῇ φρενοβλαβείᾳ Ὠριγένους κατὰ τοῦτο τὸ μέρος ἀκολουθήσαντες· Ἀναστάντος τοῦ σωτῆρος ἐκ τῶν νεκρῶν καὶ καταλείψαντος τὰ ὀθόνια ἐν τῷ μνήματι, ὡς γέγραπται, γυμνὸς ἄρα ἐφαίνετο τοῖς μαθηταῖς, ἀναστὰς ἐκ τῶν νεκρῶν σὺν σώματι καὶ ψυχῇ; Ὀπηνίκα ἐδείκνυεν τοῖς περὶ Θωμᾶν τὰ ὀστέα ἑαυτοῦ καὶ τὰς σάρκας, χεῖράς τε καὶ τὴν πλευράν, δῆλον ὅτι οὐκ ἦν γυμνός. Τοίνυν τὰ ἱμάτια τίς αὐτῷ ὕφανεν μετὰ τὴν ἀνάστασιν; Ἀλλὰ πάντως ἐρεῖς μοι· Ἐνδύματα ἦν πνευματικά.

Ὁ τοίνυν ταῦτα θελήματι ἰδίῳ ἑαυτῷ ποιήσας, κἀκείνους τοὺς δερματίνους χιτῶνας θελήματι τῷ ἰδίῳ ἠδύνατο τοῖς περὶ τὸν

1 Ibid. 3, 21 **2 – 3** Ibid. **3 – 11** ἀλλὰ – δερματίνους] exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 120r29–35 (Heimgartner, p. 240.49) **3 – 4** Gen. 3, 21 **11** Ibid. **13 – 16** Τὴν – ἐτρέπετο] cf. Ex. 4, 3 **17 – 19** Πῶς – ἐπαλαιοῦντο] cf. Deut. 29, 4 **20 – 22** Ἀναστάντος – γέγραπται] cf. Luc. 24, 12; Ioh. 20, 6 **23 – 25** Ὀπηνίκα – πλευράν] cf. Luc. 24, 40; Ioh. 20, 27

7 εὔηθες] *scripsi (ed.)*, εὐειθὲς K **10** τὸ] *scripsi (ed.)*, τοῦ K εὐχερέστερον] *correxi (ed.)*, εὐχερότερον K **11** ποιῆσαι[2]] *an delendum (cf. ed.)?* **19** ἠλίθιοι, οἱ] *correxi (ed.)*, λίθιοι K **20** ἀκολουθήσαντες] *correxi (ed.)*, ἀκολουθήσαντος K **22** ἄρα] *scripsi (ed.)*, ἄρα K

Ἀδὰμ ποιῆσαι. Ἐκπίπτει γὰρ τοῦ Ὠριγένους ἡ ἀλληγορία. Εἰ γὰρ μετὰ τὸ βεβρωκέναι τοῦ ξύλου ἐκτίσθη τῷ Ἀδὰμ ἡ σάρξ, πόθεν ἄρα *ἔλαβεν ὁ θεὸς τὴν πλευρὰν* πρὸ τοῦ αὐτὸν βεβρωκέναι, ὡς διεγερθεὶς ἀπὸ τῆς ἐκστάσεως τοῦ ὕπνου φησίν· *Τοῦτο τὸ ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῶν σαρκῶν μου*; *Τοῦ λοιποῦ* τοίνυν *μηδεὶς ἡμῖν κόπους παρεχέτω*. Οὕτως γὰρ δοξάζει ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία ἀπὸ τῶν ἀνέκαθεν. Οὐ παρασταθήσεται γὰρ ἡμῖν Ὠριγένης ἐν ἡμέρᾳ κρίσεως. Θαυμάζω γὰρ ἀληθῶς, πῶς τινὲς ἀνέχονται τοῦ βλασφημήσαντος τὸν ἑαυτοῦ δεσπότην.

II[1]44 / K cap. A 1, 44

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς τὸ *Πρόσεχε σεαυτῷ*·

Σκόπει τίς ἡ ἀπὸ ψυχῆς τῇ σαρκὶ ἐνδιδομένη δύναμις, καὶ τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψυχὴν ἐπανιοῦσα συμπάθεια, πῶς δέχεται μὲν τὴν ζωὴν ἐκ τῆς ψυχῆς τὸ σῶμα, δέχεται δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψυχή, ποίας ἀποθήκας τῶν μαθημάτων ἔχει, διατί οὐκ ἐπισκοτεῖ τῇ γνώσει τῶν προλαβόντων ἡ τῶν ἐπιγινομένων προσθήκη, ἀλλ᾽ ἀσύγχυτοι καὶ εὐκρινεῖς αἱ μνῆμαι, οἷον χαλκῇ τινι στήλῃ τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐγκεχαραγμέναι, διαφυλάσσονται, πῶς μὲν πρὸς τὰ τῆς σαρκὸς ὑπολισθαίνουσα πάθη, τὸ οἰκεῖον ἀπόλλυσι κάλλος, πῶς δὲ πάλιν τὸ ἀπὸ κακίας αἶσχος

1 – 8 Ἐκπίπτει – κρίσεως] exstat etiam in *Anonymi tractatu ad eos qui dicunt humanis corporibus animas praeexistere*, f. 120r35 – 120v4 (Heimgartner, p. 240.50) **3** cf. Gen. 2, 21 **4** ἐκστάσεως – ὕπνου] cf. ibid. 2, 21 **4 – 5** Τοῦτο – μου[2]] Ibid. 2, 23 **5 – 6** Τοῦ – παρεχέτω] Gal. 6, 17

12 – 81, 14 II[1]44 Basilius Caesariensis, *Homilia in illud:* Attende tibi ipsi *(Deut. 15, 9)*, 7–8 (ed. Rudberg, p. 35, 26 – 36, 19)

11 – 81, 14 II[1]44 K cap. A 1, 44 (38r[1]2–38v3); $V^{E}V^{O}$ cap. A 8, 22; V^{W} cap. A 8, 21; H^{I} cap. A 7, 7; L^{c} cap. A 40, 22; PG 95, 1101, 54 – 1104, 26

II[1]44 (a) K (b) Εἰς τὸ πρόσεχε σεαυτῷ $V^{E}V^{O}$ H^{I} L^{c} σεαυτόν H^{I} (c) Τοῦ αὐτοῦ V^{W}

3 ἄρα] *scripsi (ed.)*, ἆρα K **12** ψυχῆς] *praem.* τῆς K τῇ σαρκὶ] τῆσαρκὸς V^{O} **13** συμπάθειαν V^{O} **14** δὲ] *s. l.* L^{c} **15** ποίας] πόσας V^{W} μαθημάτων] παθημάτων V^{W} **17** ἀλλὰ συγχύτοι V^{O}, ἀλλὰ ἀσύγχυτος V^{W} **18 – 81, 14** τῷ – γείτονος] καὶ τὰ ἐξῆς *(sic)* V^{W} **20** πῶς] ἑως H^{I} a. c. ut videtur, ἑῶς H^{I} p. c. ut videtur τὸ] τῶ V^{O} a. c. H^{I}, τὰ K αἴσχος K, ἔσχος $V^{E}V^{O}$ H^{I}, αἶδος L^{c} ut videtur

